# Φίλιπποι. Φυτά

Διαφέρουσι δε η τόποι τόπων η από αέρος· ενιαχού γαρ εκφέρειν η χώρα δοκεί τα όμοια καθάπερ και εν Φιλίπποις· ανάδοσιν ολίγα και ολιγαχού λαμβάνειν μεταβολήν ώστε εκ σπέρματος αγρίου ποιείν ήμερον η εκ χείρονος όλως βέλτιον· τούτο γαρ επί της ρόας μόνον ακηκόαμεν εν Αιγύπτω η εν Κιλικία συμβαίνειν.

Θεοφράστου Περί φυτών ιστορίας. Εκδ. Didot 1866. σ. 23. Βιβλίον Β'

Ελάας δε μάλλον ο κότινος ευβλαστεί ισχυρότερος ων . . . Βιβ. Δ. Σελ. 83
. . . Φανερά δε γίνεται τα μεν άμα περί την βλάστησιν η δε ελάα τα το άλλο ύστερον. . . .
Παρ' ενίοις δε τινες αποκαυθείσαι η των ριζών αυανθεισών ανεβλάστησαν πάλιν . . . . Ενιαχού δε η μηλέαις τούτο συμβαίνη καθάπερ η εν Φιλίπποις.

Και εξ αφόρων φοράδες γίνονται η εξ ολιγοφόρων πολυφόροι. Τα δε η πεσόντα υπό χειμώνος η ορθά γ' εκπεσόντα υπό πνεύματος ώστε πάλιν ανίστασθαι η ζην η βλαστάνειν σ. 85

## Φίλιπποι. Πάγγαιον

### Ἰτέα. Πλάτανος. Μάντις. Θυσίαι. Σημεῖα. Ῥόδα

οἷον ἰτέα καὶ πλάτανος, ὅπερ συνέβη καὶ ἐν Ἀντάνδρῳ καὶ ἐν Φιλίπποις· ἐκπεσόντος γὰρ ὡς περιέκοψαν τοὺς ἀκρέμονας καὶ ἐπελέκησαν ἀνεφύη νύκτωρ ἡ πλάτανος κουφισθεῖσα τοῦ βάρους καὶ ἀνεβίω καὶ ὁ φλοιὸς περιέφυ πάλιν. Παραδείσου γεγενημένη δ' ἐτύγχανεν ἐκ τῶν δύο μερῶν· ἦν δὲ τὸ δένδρον μέγα, μῆκος μὲν μεῖζον ἢ δεκάπηχυ, πάχος δ' ὥστε μὴ ῥᾳδίως ἂν περιλαβεῖν τέτταρας ἄνδρας. Ἡ δ' ἐν Φιλίπποις ἰτέα περιεκόπη μὲν τοὺς ἀκρέμονας, τὸ μὴν πᾶν ἐπελεκήθη. Μάντις δέ τις ἔπεισεν αὐτοὺς θυσίαν τε ποιῆσαι καὶ τηρεῖν τὸ δένδρον ὡς σημεῖον ἀγαθὸν γεγονός.

Βιβ. ΣΤ΄. Τῶν δὲ ῥόδων πολλαὶ διαφοραὶ πλήθει τε φύλλων καὶ ὀλιγο-
σ. 105 τητι καὶ τραχύτητι καὶ λειότητι καὶ εὐχροίᾳ καὶ εὐοσμίᾳ. Τὰ μὲν γὰρ πλεῖστα πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα καὶ εἰκοσίφυλλα, τὰ δ' ἔτι πολλῷ πλεῖον ὑπεραίροντα τούτων· ἔνια γὰρ εἶναί φασιν ἃ καὶ καλοῦσιν ἑκατοντάφυλλα. Πλεῖστα δὲ τὰ τοιαῦτα ἐστὶ περὶ Φιλίππους· οὗτοι γὰρ λαμβάνοντες ἐκ τοῦ Παγγαίου φυτεύουσιν· ἐκεῖ γὰρ γίνεται πολλά· σμικρὰ δὲ σφόδρα τὰ ἐκτὸς φύλλα.

## Φίλιπποι Φυτά

## Κύαμος. Ἰτέα.

Τῆς δ' ἀσθενείας τοῦ κυάμου καὶ τοῦτο σημεῖον ἄν τις λάβοι· Περὶ φυτῶν
μόνος γὰρ δοκεῖ μεταβάλλειν τὴν χρόαν ἐν ταῖς μεγάλαις. αἰτιῶν
Ὅτι δὲ πολλάκις ἡ σύντηξις γίνεται ὑπὸ τοῦ ψυχροῦ δι' ἣν Βιβ. Δ. 12
ἀτεράμονα γίνεται μαρτυρεῖ καὶ τὸ περὶ Φιλίππους συμ- σγ. 26α
βαῖνον περὶ τοὺς κυάμους· ἐπεὶ γὰρ σφόδρα ψυχροὶ ἄ-
νεμοί τινες γίνονται· ἐὰν οὖν ἐν τοῖς ἀχύροις μὴ κείμε-
νοι ἐν τῇ ἅλῳ καταλειφθῶσιν οὐ μεταβάλλουσιν ἀλλὰ τεράμο-
νες· ἅτε μὲν γὰρ ὑπὸ τῶν ἀχύρων ἅτε δ' ὑπὸ τῆς πρὸς ἀλ-
λήλους συναφῆς συσκεπάζονται καὶ ἅμα τῇ τῆς γῆς θερμό-
τητι· ὅταν δὲ μετέωροι ληφθῶσι(1) τότε πνεῦμα ἄλ-
λον ἰσχυρὸν οὐδαμόθεν ἐχόντων σκέπην φθάνεται καὶ
πήγνυσιν· ἅμα δὲ καὶ ἀσθενέστατα τότε γίγνονται γυμνού-
μενοι πρῶτον τῶν ἀχύρων καὶ τῆς θερμότητος τῆς περιε-
χούσης. Αἱ δὲ μεγάλαι μεταβολαὶ μάλιστα κινοῦσιν

Εἰ δέ ποτε δένδρον πεσὸν ὑπὸ χιόνος ἀνέφυ πάλιν αὐτόμα- Βιβ. Ε. 5
~~τον~~ ὥσπερ ἐν Φιλίπποις μὲν ἰτέα, ἐν δὲ Ἀντάνδρῳ πλά- σ. 271
τανος ᾗ τῆς μὲν οὐδὲν ἀφῃρέθη πλὴν ὅσοι τῶν ἀκρεμόνων

(1) Ἴσως μᾶλλον ληφθῶσι = μείνωσι

# Φίλιπποι Φυτά

καθυγράσθησαν εν τη πτώσει, της υλώδους δε αφηρέθη και τη πα-
ρεγκλίσει την δ' αιτίαν υπελάμβανον ότι πρόσω εστι θα-
τέρου μέρους ανίσχει πολλήν γην, συγχωρείν δε τη νύκτα
τότε ανέμους εντελώς η μεγάλους κινήσαντας αυτό δια το εμ-
πίπτειν τοις αυχμώδεσι ρεύμασι εποίησαν εγκείμενον το μέ-
ρος η καθαρωτέραν κράσιν· όπερ γαρ συνέβη τω εν Φι-
λίπποις . . . .. "

Σελ. 282. Το δε ψύχος μάλιστα των τόπων όσοι κοίλοι και όσοι περί
τους ποταμούς και όλως τοις απνευστοτάτοις ουκ άλογον. Ίσταται γαρ
μάλιστα ενταύθα φερόμενον το πνεύμα και πλείστον διατεί-
βει χρόνον ώστε και μάλιστα απεργάζεται. Και γαρ όπου
μη δια πνεύματα το πάθος, αλλά δια ψυχρασίαν και
στάσιν τινα του αέρος γίνεται καθάπερ εν Μακεδονί-
α τε και Θετταλία ενιαχού και περί Φιλίππους(1) ενταύθα οι
κοίλοι τόποι μάλιστα ψύχουσιν· ηρεμούς γαρ ο αήρ πήγνυται
και πήγνυσιν και το όλον πλείω χρόνον εργάζεται.

(1) Ο Θεόφραστος ονομάζων μετά τη Μακεδονία και Θεσσα-
λία "και περί Φιλίππους" θα εννοεί μη περιλαμβανομένην αυτήν εν
Μακεδονία.

Φίλιπποι. ~~Κεφ~~ Φυτά
Κρηνίδες

οἱ δὲ καθ' ἕκαστα τόποι ἡ καὶ ἐπὶ τούτων ἰδίαν ἔχουσι· ὅπου γὰρ
Θετταλίας περὶ Κίθρον μάλιστ' ὥς φασιν ἐκπήγνυσθαι· ὁ
δὲ τόπος κοῖλος καὶ ἔφυδρος· ἐν δὲ Φιλίπποις πρότερον Βιβ. Ε΄. 14 σ. 285
μὲν μᾶλλον ἐξεπήγνυτο, νῦν δ' ἐπεὶ καταπεποθεῖς ἐξήρανται
τὸ πλεῖστον ἡ δὲ χώρα πᾶσα κατείργασται ἧττον πολ-
λύ· καίτοι λεπτότερος ὁ ἀὴρ δι' ἄμφω καὶ διὰ τὸ ἀνεξη-
ράνθαι τὸ ὕδωρ καὶ διὰ τὸ κατεργάζεσθαι τὴν χώραν· ἡ γὰρ
ἀργὸς ψυχροτέρα καὶ παχύτερον ἔχει τὸν ἀέρα διὰ
τὸ υλώδης εἶναι καὶ μήτε τὸν ἥλιον ὁμοίως διικνεῖσθαι μή-
τε τὰ πνεύματα διαπνεῖν ἅμα δὲ καὶ αὐτὴν ἔχειν ὑ-
δάτων συρροὰς καὶ συστάσεις πλείους· ὅπερ περὶ τὰς Κρη-
νίδας ἦν τῶν Θρᾳκῶν κατοικούντων. Ὅλον γὰρ τὸ πεδί-
ον δένδρων πλῆρες ἦν καὶ ὑδάτων· ὥστε νῦν μᾶλλον
πρότερον ἐκπήγνυσιν ἐξηραμμένων τῶν ὑδάτων
ὡς τὴν λεπτότητα τοῦ ἀέρος αἰτιατέον εἰς τὴν κρᾶσιν.